τοκοι ἢ πρωτότροφοι γίνονται, ὅταν δὲ οἱ, θανάτῳ τῶν ὄντων ἀπαδελφοῦσιν. ὅταν μέντοι τῶν διδόντων ἀστέρων, ἐὰν μὲν καλῶς κατὰ τὸ κοσμικὸν τυγχάνωσι διακείμενοι, εὐσχήμονας καὶ ἐπιδόξους ἡγητέον τοὺς διδομένους ἀδελφούς, ἐὰν δὲ ἐναντίως ταπεινοὺς καὶ ἀνεπιφάντους. ἐὰν δὲ καθυπερτερήσωσι τοὺς διδόντας, ἢ ἐπανενεχθῶσιν αὐτοῖς οἱ κακοποιοί, καὶ ὀλιγοχρονίους δώσουσι, τοὺς μὲν ἄρρενας οἱ κοσμικῶς ἠρρενωμένοι τὰς δὲ θηλείας οἱ τεθηλυσμένοι. καὶ πάλιν τοὺς μὲν πρώτους οἱ ἀπηλιωτικώτεροι, τοὺς δὲ ὑστέρους οἱ λιβυκώτεροι. πρὸς δὲ τούτοις ἐὰν μὲν οἱ διδόντες τοὺς ἀδελφοὺς συμφώνως ἐσχηματισμένοι τυγχάνωσι τῷ κυριεύοντι τοῦ περὶ τῶν ἀδελφῶν δωδεκατημορίου προσφιλεῖς ποιήσουσι μὲν διδομένους ἀδελφούς, ἐὰν δὲ καὶ τῷ κλήρῳ τῆς τύχης, καὶ κοινοβίους, ἐὰν δὲ ἐν τοῖς ἀσυνδέτοις τυγχάνωσιν ἢ καὶ κατὰ τὴν ἐναντίαν στάσιν, φιλέχθρους καὶ φθονεροὺς καὶ ὡς ἐπίπαν ἐπιβουλευτικούς. λοιπὸν δὲ καὶ τὰ καθ᾿ ἕκαστον αὐτῶν εἴ τις ἐπιπολυπραγμονοίη συγκρίνοιτ᾿ ἂν καὶ ἐνταῦθα πάλιν τοῦ διδόντος ἀστέρος ὑποτιθεμένου κατὰ τὸν ὡροσκοπικὸν λόγον, καὶ τῶν λοιπῶν ὡς ἐπὶ γενέσεως.

## Περὶ ἀρρενικῶν καὶ θηλυκῶν.

Ἑπομένου ἤδη καὶ τοῦ περὶ ἀδελφῶν λόγου κατὰ τὸν ἁρμόζοντα καὶ φυσικὸν τρόπον ἡμῖν ἐπιγεγονότος, ἑξῆς ἂν εἴη τῶν κατ᾿ αὐτὴν τὴν γένεσιν ἄρξασθαι, καὶ πρῶτον ἐπιδραμεῖν τὸν περὶ ἀρρενικῶν τε καὶ θηλυκῶν ἐπιλογισμόν. θεωρεῖται δὲ οὗτος οὐ μονοειδῶς οὐδ᾿ ἀφ᾿ ἑνός τινος, ἀλλ᾿ ἀπό τε τῶν φωτῶν ἀμφοτέρων, καὶ τοῦ ὡροσκόπου, τῶν τε λόγον ἐχόντων πρὸς αὐτοὺς ἀστέρων, μάλιστα μὲν κατὰ τὴν τῆς σπορᾶς διάθεσιν, ὁλοσχερέστερον δὲ καὶ κατὰ τὴν τῆς ἐκτροπῆς. τὸ δ᾿ ὅλον παρατηρητέον. πότερον οἱ προειρημένοι τρεῖς τόποι, καὶ οἱ τούτων οἰκοδεσποτοῦντες ἀστέρες ἢ πάντες ἢ οἱ πλεῖστοι τυγχάνουσιν ἠρρενωμένοι, πρὸς ἀρρενογονίαν ἢ τεθηλυσμένοι, πρὸς θηλυγονίαν. καὶ οὕτως ἀποφαντέον. διακριτέον μέντοι τούς τε ἠρρενωμένους καὶ τοὺς τεθηλυσμένους καθ᾿ ὃν ὑποτεθείμεθα τρόπον, ἐν ταῖς πινακικαῖς ἐκθέσεσι ἐν ἀρχῇ τῆς συντάξεως, ἀπό τε τῆς τῶν δωδεκατημορίων ἐν οἷς εἰσὶ φύσεως, καὶ ἀπὸ τῆς αὐτῶν τῶν ἀστέρων, καὶ ἔτι ἀπὸ τῆς πρὸς τὸν κόσμον σχέσεως ἐπειδήπερ ἀπηλιωτικοὶ μὲν ὄντες, ἀρρενοῦνται, λιβυκοὶ δὲ θηλύνονται. πρὸς δὲ τούτοις ἀπὸ τῆς πρὸς τὸν ἥλιον ἑῷοι γὰρ ὄντες πάλιν ἀρρενοῦνται, θηλύνονται δὲ ἑσπέριοι, διὰ πάντων, τὴν κατὰ τὸ πλεῖστον ἐπικράτησιν τοῦ γένους προσήκει καταστοχάζεσθαι.